# ΤΟΥ  ΣΑΜΩΝΑ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΓΑΖΗΣ
Διάλεξις
πρὸς Ἀχμέδ τὸν Σαρακηνὸν
ἀποδεικνύουσα τὸν ὑπὸ τοῦ ἱερέως ἱερουργούμενον
ἄρτον καὶ οἶνον,
Σῶμα καὶ Αἷμα ἀληθινὸν καὶ ὁλόκληρον
εἶναι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

editio princeps

# Dialogue de Samon, archevevêque de Gaza
avec le Sarrasin Ahmed
démontrant que le pain et le vin consacrés par le prêtre
sont réellement et parfaitement
le corps et le sang de notre Seigneur
Jésus-Christ

Première édition du texte grec
dans
ΛΕΙΤΟΥΡΓΙΑΙ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ
p. 133-138
par
## Guillaume Morel

## 1560

R. 43
104967

# ΛΕΙΤΟΥΡΓΙΑΙ

## ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ,

Ἰακώβου τοῦ ἀποστόλου καὶ ἀδελφοθέου.
Βασιλείου τοῦ μεγάλου.
Ἰωάννου τοῦ χρυσοστόμου.

## ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΗΙ ΛΕΙΤΟΥΡΓΙΑΙ.

Διονυσίου τοῦ ἀρεοπαγίτου.
Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος.
Γρηγορίου τοῦ Νύσσης ἀρχιεπισκόπου.
Ἰωάννου τοῦ δαμασκηνοῦ.
Νικολάου τοῦ Μεθώνης ἐπισκόπου.
Σαμωνᾶ τοῦ Γάζης ἀρχιεπισκόπου.
Μάρκου τοῦ Ἐφέσου ἀρχιεπισκόπου.
Γερμανοῦ τοῦ Κωνσταντινουπόλεως ἀρχιεπισκόπου.
Πρόκλου Κωνσταντινουπόλεως ἀρχιεπισκόπου.

BIBLIOTHÈQUE DE LA VILLE LYON 1894

Omnia Latinè seorsim excusa sunt.

BIBLIOTH. PUBL. LUGDUN.
BIBLIOTHÈQUE DE LA VILLE DE LYON

Βασιλεῖ τ' ἀγαθῷ κρατερῷ τ' αἰχμητῇ.

PARISIIS, M.D.LX.
Apud Guil. Morelium, in Græcis typographum Regium.
PRIVILEGIO REGIS.

οἷς ἀτυχῶ, λίαν εὐτυχῶ.

Digitized by Google

Ἔνεστι τάδε ἐν τῷ παρόντι βιβλίῳ.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, περὶ παραδόσεως τῆς θείας λειτουργίας. σελίδι 1.

Ἡ θεία λειτουργία τοῦ ἁγίου ἀποστόλου καὶ ἀδελφοθέου Ἰακώβου. 3.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου. 43.

Ἰωάννου τοῦ χρυσοστόμου. 69.

Ἐκ τῶν Διονυσίου τοῦ ἀρεοπαγίτου, περὶ τῆς ἐν συνάξει τελουμένων. 111.

Ἐκ τῶν Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος, περὶ λειτουργίας. 121.

Γρηγορίου τοῦ ἀρχιεπισκόπου Νύσσης, ὅτι ὁ ἁγιαζόμενος ἄρτος, εἰς τὸ σῶμα τοῦ θεοῦ λόγου μεταποιεῖται, καὶ ὅτι ἀνάγκη τῇ ἀνθρωπείᾳ φύσει, αὐτοῦ μεταλαβεῖν. 123.

Ἰωάννου τοῦ δαμασκηνοῦ, ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος οὐκ ἔστι τύπος τοῦ κυριακοῦ σώματος, ἀλλ' αὐτὸ ἐκεῖνο ἀληθῶς τὸ ἴδιον σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. 125.

Νικολάου τοῦ ἐπισκόπου Μεθώνης, πρὸς τοὺς διστάζοντας καὶ λέγοντας ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος οὐκ ἔστι σῶμα καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. 129.

Τοῦ Σαμωνᾶ ἀρχιεπισκόπου Γάζης διάλεξις πρὸς Ἀχμὲδ τὸν Σαρακηνόν, ἀποδεικνύουσα τὸν ὑπὸ τοῦ ἱερέως ἱερουργούμενον ἄρτον καὶ οἶνον, σῶμα καὶ αἷμα ἀληθινὸν καὶ ὁλόκληρον εἶναι τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ. 133.

Μάρκου τοῦ ἀρχιεπισκόπου Ἐφέσου, ὅτι οὐ μόνον ἀπὸ τῆς φωνῆς τῶν δεσποτικῶν ῥημάτων ἁγιάζονται τὰ θεῖα δῶρα, ἀλλ' ἐκ τῆς μετὰ ταῦτα εὐχῆς καὶ εὐλογίας τοῦ ἱερέως, δυνάμει τοῦ ἁγίου πνεύματος. 138.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γερμανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, λειτουργίας ἱστορία καὶ μυστικὴ θεωρία. 145.

Pag. 2. versu 1. lege, ἔφθη. 11. 8. ἡμῶν. 39. 26. τὸ μόνον. 49. 1. προσάγομεν. 133. 15. διήλθομεν. 134. 35. ὑμῶν οὕτω.

πατῶν, τίνος ἂν εἴη καὶ πόσῳ μᾶλλον χείρονός τε καὶ μείζονος ἄξιος καὶ κατηγορίας καὶ τιμωρίας· ἆρ᾽ οὐ φρίκης γέμει τὰ εἰρημένα; ἆρ᾽ ὑπολέλειπταί τις ὑπερβολὴ τῷ τῆς καινοτομίας καὶ παραβάσεως καὶ ἀθείας τολμήματι; ἀλλὰ ῥῦσαι κύριε διὰ τοῦ ἐλέους σου τοιαύτης ἀπάτης τε καὶ παραφροσύνης πάντας τοὺς μὴ ὀρθῶς ὁμολογοῦντας τὸν ὑφ᾽ ἡμῶν ἱερουργούμενον ἄρτον καὶ οἶνον, σῶμα τέλειον καὶ αἷμα τίμιον εἶναι τοῦ χριστοῦ σου.

# ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΣΑΜΩΝΑ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΓΑΖΗΣ ΔΙΑλεξις πρὸς Ἀχμὲδ τὸν Σαρακηνὸν, ἀποδεικνύουσα τὸν ὑπὸ τοῦ ἱερέως ἱερουργημένον ἄρτον καὶ οἶνον, σῶμα καὶ αἷμα ἀληθινὸν καὶ ὁλόκληρον εἶναι τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ.

ΕΤΥΓΧΑΝΟΜΕΝ ποτὲ πορευόμενοι τῆς εἰς Ἔμεσαν μετὰ πολλῶν ἄλλων, καὶ τῇ συνήθει διαλέξει τῇ κατὰ τὴν ὁδὸν παραμύθιον οὔσῃ χρώμενοι, περὶ διαφόρων ὑποθέσεων, πέραν τοῦ δέοντος ἐν συνουσίᾳ διέλθωμεν· ἐξ ὧν καί τις σοφὸς ἀνὴρ καὶ λόγιος σαρακηνὸς τὸ γένος εἰς τὴν τῶν μυστηρίων διήγησιν τραπεὶς, ἠρώτησεν ἐμὲ, οὑτωσί φάσκων· διὰ τί ὦ ἐπίσκοπε, ὑμεῖς οἱ ἱερεῖς ἐμπαίζετε τοὺς χριστιανοὺς τὸν ἐξ ἀλεύρου ὀπτόμενον ἄρτον αὐτοῖς κατὰ βραχὺ μερίζοντες, καὶ σῶμα χριστοῦ ὀνομάζοντες, ἄφεσιν ἁμαρτιῶν παρέχειν αὐτὸν τοῖς μεταλαμβάνουσι δυνάμενον διαβεβαιοῦντες· ἆρα ἢ ἡμᾶς αὐτοὺς ἐμπαίζετε, ἢ τοὺς ὧν ἄρχετε; Σα. καὶ τί λέγεις, ἄρτος οὐ γίνεται θεοῦ σῶμα; Αχ. ἑκάτερον ἀπορῶ μέρος ἀποκρίνεσθαι τῆς ἀντιφάσεως. Σα. τοσοῦτόν σε ἡ μήτηρ σου γεγέννηκεν; Αχ. οὐχί. Σα. ἀλλὰ πόσον. Αχ. σμικρόν. Σα. καὶ τίς σε ἐμεγέθυνε. Αχ. θεοῦ θέλοντος ἡ τροφή. Σα. οὐκοῦν ἄρτος σοι γέγονε σῶμα; Αχ. σύμφημι. Σα. καὶ πῶς σοι ἄρτος γέγονε σῶμα; Αχ. τὸν τρόπον ἀγνοῶ. Σα. διὰ τοῦ λαιμοῦ ἡ βρῶσις καὶ ἡ πόσις εἰς τὸν στόμαχον κατέρχεται ὡς εἰς χύτραν· παρακειμένου δὲ τῷ στομάχῳ θερμοῦ ὄντος τοῦ ἥπατος, ἕψεται ἡ τροφὴ καὶ χυλοῦται· καὶ τὸ μὲν παχυμερὲς, κάτω χωρεῖ· τὸ δὲ λεπτομερὲς, κεχυλωμένον ἐπιπολάζει· ὡς θερμὸν δὲ ὑπάρχον τὸ ἧπαρ καὶ σομφῶδες, ἀνασπᾷ καὶ αἱματοῖ· καὶ ὡς διὰ ὀχετῶν ἅπαν τὸ σῶμα διὰ τῶν φλεβῶν καταρδεύει, μερίζον τὴν χυλωθεῖσαν ἐν τῷ στομάχῳ τροφὴν, καὶ ἐν αὐτῷ αἱματωθεῖσαν, ἑκάστῳ τῶν μελῶν συμμεταβαλλομένην, ὅ τί ἐστιν ἐκεῖνο, ὀστέοις ὀστοῦν, μυελῷ μυελὸν, νεύροις

νεῦρον, ὀφθαλμοῖς ὀφθαλμούς, θριξὶ τρίχα, δέρματι δέρμα, ὄνυξιν ὄνυχας· καὶ οὕτω γίνεται ἡ τοῦ βρέφους εἰς ἄνδρα αὔξησις, τοῦ ἄρτου αὐτῷ γενομένου σῶμα, καὶ τῆς πόσεως αἷμα. Αχ. ἔοικε. Σα. τρόπον τὸν αὐτὸν καὶ τὸ ἡμέτερον νόει μοι γίνεσθαι μυστήριον· τίθησι γὰρ ἐπὶ τὴν ἁγίαν τράπεζαν ὁ ἱερεὺς τὸν ἄρτον, ὁμοίως καὶ τὸν οἶνον· καὶ δεομένου, ἐπικλήσει ἁγίᾳ τὸ πνεῦμα τὸ ἅγιον κάτεισι, καὶ ἐπιφοιτᾷ τοῖς προκειμένοις· καὶ τῷ πυρὶ τῆς αὐτοῦ θεότητος, εἰς σῶμα καὶ αἷμα χριστοῦ, τὸν ἄρτον καὶ τὸν οἶνον μεταβάλλει, οὐχ ἧττον ἢ τὸ ἧπαρ τὴν τροφήν, εἰς τὸ τοῦ τινὸς ἀνθρώπου. ἢ οὐ δίδως ὥσπερ δύνασθαι τὸ πανάγιον τοῦ θεοῦ πνεῦμα ὅπερ τὸ σὸν δύναται ἧπαρ ἐκτελεῖν; Αχ. δίδωμι. Σα. τούτου τοίνυν τοῦ σώματος καὶ αἵματος μεταλαμβανόμενοι εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, τοῦ δεσπότου ἡμῶν εἰρηκότος, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον· τοῖς δὲ δυσπαθῶς ἔχουσι πρὸς τὸ φαινόμενον, ὡς μὴ βλέπουσι τὸ συμβαῖνον τῇ ἐπαγγελίᾳ τῶν σωματικῶς ἐνεργουμένων· ἄρτος γὰρ καὶ οἶνος φαίνεται· πρόσεστι δὲ καὶ τοῖς λέγουσι, πῶς ἐστι δυνατὸν εὐχὴν καὶ δυνάμεως θείας ἐπίκλησιν ἐπὶ τοῦ ἄρτου γινομένην μεταβάλλειν αὐτὸν εἰς σάρκα ζῶσαν, ἁπλοῦς ἐξαρκεῖ λόγος· ἀντερωτήσομεν γάρ, τοῦ τρόπου τῆς κατὰ σάρκα γεννήσεως, πᾶσιν ὄντος προδήλου, πῶς ἄνθρωπος ἐκεῖνο τὸ ὑγρὸν γίνεται, τὸ εἰς ἀφορμὴν τῆς συστάσεως τοῦ ζώου καταβαλλόμενον· ἀλλὰ μήν, οὐδεὶς ἐπ' ἐκείνου λόγος ἐστὶν ὁ λογισμῷ τινὶ τὸ πιθανὸν ἐξευρίσκων· τί γὰρ κοινὸν ἔχει ὅρος ἀνθρώπου πρὸς τὴν ἐκείνην θεωρουμένην ποιότητα συγκρινόμενος· ἄνθρωπος μὲν γάρ, λογικόν τι χρῆμα καὶ διανοητικόν ἐστιν· ἐκεῖνο δὲ ἐν ὑγρᾷ τινὶ θεωρεῖται ποιότητι· καὶ πλέον οὐδὲν τοῦ κατ' αἴσθησιν ὁρωμένου, καταλαμβάνει ἡ ἔννοια· ἀλλὰ θείᾳ δυνάμει ἐκεῖνο ἄνθρωπος γίνεται· ἧς μὴ συμπαρούσης, ἀκίνητόν ἐστι καὶ ἀνενέργητον. εἰ οὕτως ἔχει οὐ τὸ ὑποκείμενον ποιεῖ τὸν ἄνθρωπον, ἀλλ' ἡ θεία δύναμις πρὸς ἀνθρώπου φύσιν μεταποιεῖ τὸ φαινόμενον, τῆς ἐσχάτης ἂν εἴη ἀγνωμοσύνης, ἐκεῖ τοσαύτην θεοῦ προσμαρτυροῦντας δύναμιν, ἀτονεῖν ἐν τῷ μέρει τούτῳ τὸ θεῖον οἴεσθαι πρὸς τὴν ἐκπλήρωσιν τοῦ θελήματος. Αχ. ἀλλὰ τί κοινὸν ἄρτῳ καὶ σαρκί. Σα. καὶ τί κοινὸν λέξον μοι, ὑγρότητι καὶ εἰκόνι θεοῦ· ἀλλ' ὥσπερ οὐδὲν ἔχει τὸ παράδοξον, εἰ θεοῦ βουλομένου, πρὸς τὸ τιμιώτατον ζῶον τὸ ὑγρὸν μεταβαίνει, οὕτω καὶ ἐπὶ τούτου τὸ ἴσον πιστευτέον, μηδὲν εἶναι θαυμαστόν, εἰ θείας δυνάμεως παρουσίᾳ πρὸς ἀφθαρσίαν μετασκευάζεται ὁ ἄρτος, καὶ εἰς σῶμα χριστοῦ μεταβάλλεται. Αχ. ἀλλ' ὁ χριστὸς ὅτε τοῦτο τοῖς μαθηταῖς αὐτοῦ παρέδωκε, οὔτ' αὐτὸς πολλὰς εὐχὰς εἶπε, οὔθ' ἡμῖν οὕτω προσεπέταξε λέγειν. πῶς τοίνυν ὑμεῖς οὐχ οὕτω ποιεῖτε, ἀλλ' εὐχῶν πολλῶν δεῖσθε. Σα. ὁ χριστὸς καθὸ θεός, κύριος ἦν καὶ τοῦ ἑαυτοῦ σώματος καὶ τῆς ψυχῆς, ἢ φησιν αὐτός, ὅτι ἐξουσίαν ἔχω τὴν ψυχήν μου θεῖναι, καὶ πάλιν λαβεῖν αὐτήν·

καὶ αὐτὸς φύσει θεὸς ὤν, ἡγίασεν εὐθὺς τῇ αὐτοῦ θείᾳ δυνάμει καὶ χάριτι τότε τὸν ἄρτον, τοῦτό ἐστι τὸ σῶμά μου εἰπών, ἔχων καὶ τὸν πατέρα καὶ τὸ πνεῦμα ἐν ἑαυτῷ· καὶ οὕτως τὸν ἄρτον οἰκεῖον σῶμα ἐποίησε· καὶ οὐκ ἐδεῖτο ἑτέρου τινὸς ὑπερέχοντος, καὶ τὸν ἄρτον ἁγιάσοντος· τὸ γὰρ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται· αὐτὸς δὲ ὁ χριστὸς οὐκ ἐλάττων ὢν τοῦ πατρὸς καὶ τοῦ πνεύματος, αὐτεξουσίως ἐποίει ὅσα ἐβούλετο. ὁ δέ γε παρ' ἡμῖν ἱερεὺς, εἰ καὶ τύπον φέρει χριστοῦ, ἀλλ' ἄνθρωπός ἐστι παντὶ τρόπῳ ὑποκείμενος ἁμαρτίαις καὶ κατεχόμενος· οὐδεὶς γὰρ ἀναμάρτητος, ὡς τὸ θεῖον λόγιον, κἂν μία ὥρα ἐστὶν ἡ ζωὴ αὐτοῦ, εἰ μὴ μόνος ὁ θεός· διὰ τοῦτο δεῖται πολλῶν εὐχῶν, καὶ πρότερον μὲν ὑπὲρ τῶν οἰκείων ἀγνοημάτων, ἔπειτα τῶν τοῦ λαοῦ, ὥς φησιν ὁ ἀπόστολος Παῦλος· διὸ καὶ πᾶς ὁ λαὸς παριστάμενος ἔξω τοῦ ἀδύτου, συμπονεῖ καὶ συμπροσεύχεται τῷ ἱερεῖ. δέεται τοίνυν ὁ ἱερεὺς τοῦ θεοῦ καὶ πατρὸς, ὡς μέσον θεοῦ καὶ ἀνθρώπων ἱστάμενος πρέσβυς, ἵνα μὴ κώλυμα γένηται τῆς τοῦ παναγίου πνεύματος ἐπελεύσεως, ἀλλὰ καταπέμψῃ καὶ αὖθις τὸ πανταχοῦ παρὸν θεῖον καὶ τελεταρχικὸν καὶ ἁγιαστικὸν πνεῦμα, δι' οὗ τὰ πάντα τά τε ἐν οὐρανῷ, τά τε ἐπὶ γῆς λεγόμενα ἅγια, τῇ μετοχῇ τῆς ἁγιαστικῆς αὐτοῦ χάριτος ἁγιάζεται· εἰς τὸ τελεσιουργῆσαι τὸν προκείμενον εἰς θυσίαν ἄρτον καὶ τὸ ποτήριον, καὶ ποιῆσαι αὐτὰ, αὐτὸ ἐκεῖνο τὸ κυριακὸν σῶμα καὶ αἷμα τοῦ χριστοῦ· ὁ πατὴρ γὰρ εὐδόκησε, φασὶ τὰ παρ' ἡμῖν λόγια, καὶ ὁ υἱὸς ἐσκήνωσε, καὶ ἡ παρθένος ἔτεκε θεὸν ἐνανθρωπήσαντα, καὶ τὸ ἅγιον πνεῦμα συνήργησεν· ὃ καὶ ἐκ τῶν παρθενικῶν αἱμάτων μέρος λαβὸν, ᾠκοδόμησε τὸν σωματικὸν ναὸν τοῦ χριστοῦ. κἀντεῦθεν δηλοῦμεν καὶ τὸ ἀχώριστον καὶ ἰσοδύναμον, καὶ ὁμοφυὲς καὶ παντοδύναμον τῆς ἁγίας τριάδος, εἰ καὶ ταῖς ὑποστάσεσι διῄρηται, καὶ ὅτι ἔνθα ἐστὶ μία τῶν τριῶν ὑποστάσεων, ἀχωρίστως καὶ αἱ λοιπαὶ δύο τῇ φύσει σύνεισιν, ὡς συνδημιουργαὶ καὶ τοῦ παντὸς προνοητικαί. Αχ. καλῶς τὰ ἀπόρρητα διεξέρχῃ· ἀλλὰ τί δήποτε ὁ χριστὸς τὸ σῶμα αὐτοῦ ἐσθίειν τοῖς εἰς αὐτὸν πιστεύουσι παρέδωκεν.

Σα. Ἀῤῥήτῳ φιλανθρωπίᾳ καὶ θαυμαστῇ οἰκονομίᾳ ἐγένετο· τοῦτο μὲν, πρὸς ἀποτροπὴν τῶν ἐναντίων δυνάμεων· τοῦτο δὲ, καὶ εἰς τελειοποίησιν ἡμῶν ψυχῆς ἅμα καὶ σώματος· ἐπειδὴ οὐκ ἦν δυνατὸν ἔτι καὶ σωματικῶς ἡμῖν τοῖς ἐπὶ γῆς τὸν χριστὸν μέχρι συντελείας τοῦ αἰῶνος συναναστρέφεσθαι καὶ συνδιάγειν, καὶ τὰς παντοίας νόσους ἡμῶν ἑκάστῃ ὥρᾳ ἰᾶσθαι· διὰ τοῦτο τοίνυν παντοδύναμος ὢν καὶ πολυεύσπλαγχνος καὶ φιλάνθρωπος, ἠβουλήθη ἡμᾶς μὴ χωρίζεσθαι ἀπ' αὐτοῦ, ἀλλ' ὡς τέκνα αὐτῷ συνεῖναι διὰ τῆς μετοχῆς καὶ κοινωνίας τούτου τοῦ ἄρτου καὶ τοῦ οἴνου καὶ τοῦ ὕδατος, ὡς συνηθεστέρων ὄντων τῇ ἡμετέρᾳ φύσει καὶ μὴ βδελυκτῶν, εἰς σῶμα αὐτοῦ καὶ αἷμα μεταβαλλομένων θείᾳ δυνάμει κατὰ τὴν αὐτοῦ πρόσταξιν· ὃ καὶ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, καὶ φυλακτήριον ψυχῆς τε



Digitized by Google

καὶ σώματος τοῖς πιστοῖς ἀξίως μεταλαμβάνουσι γίνεται· ἐὰν γὰρ μὴ φάγητε, ἔφη, τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· διὸ καὶ ἡμῖν οὕτω παραδοθὲν, καὶ φυλάττεται καὶ ἀναμφιβόλως πιστεύεται, ἄχρις οὗ ἂν αὐτὸς ἔλθῃ κατὰ τὴν τοῦ Παύλου φωνήν. Αχ. αὕτη ἄρα ἡ κοινωνία καὶ ἡ θυσία τοῦ σώματος καὶ αἵματος τοῦ χριστοῦ ἣν προσφέρετε οἱ ἱερεῖς, σῶμα καὶ αἷμα ἀληθινόν ἐστι χριστοῦ, ἢ ἀντίτυπος τοῦ σώματος αὐτοῦ, ὡς ἡ θυσία τοῦ τράγου ἣν ἰουδαῖοι προσάγουσι; Σα. μὴ γένοιτο ἡμᾶς εἰπεῖν ἀντίτυπον τοῦ σώματος τοῦ χριστοῦ τὴν ἁγίαν κοινωνίαν, ἢ ψιλὸν ἄρτον, ἢ τύπον, ἢ εἰκόνα, ἀλλ' αὐτὸ τὸ σῶμα καὶ αἷμα ἀληθῶς χριστοῦ τοῦ θεοῦ ἡμῶν τεθεωμένον μεταλαμβάνειν, τοῦ σαρκωθέντος καὶ γεννηθέντος ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· οὕτω γὰρ πιστεύομεν, καὶ οὕτως ὁμολογοῦμεν κατὰ τὴν φωνὴν αὐτοῦ τοῦ χριστοῦ, ἣν πρὸς τοὺς μαθητὰς ἐπὶ τοῦ δείπνου τοῦ μυστικοῦ μεταδιδοὺς αὐτοῖς τὸν ζωοποιὸν ἄρτον, ἔλεγε, λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα. ὡσαύτως καὶ τὸ ποτήριον μεταδιδοὺς αὐτοῖς, φησί, τοῦτό μου ἐστὶ τὸ αἷμα· οὐκ εἶπε, τοῦτό μου ἐστὶ τὸ ἀντίτυπον τοῦ σώματος καὶ τοῦ αἵματος, ἢ ἡ εἰκών. καὶ ἐν ἑτέροις δὲ πλείοσι τόποις φαίνεται ὁ χριστὸς εἰπὼν, ὅτι ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον. λοιπὸν, αὐτοῦ τοῦ χριστοῦ μαρτυροῦντος, ὅτι σῶμα αὐτοῦ ἐστιν ἀληθῶς καὶ αἷμα, ὅταν οἱ πιστοὶ προσάγοντες μεταλαμβάνομεν, τί δεῖ πλέον περὶ τούτου ἀμφιβάλλειν, εἰ θεὸν καὶ υἱὸν τοῦ θεοῦ αὐτὸν εἶναι πιστεύομεν· εἰ γὰρ ἐκ τοῦ μὴ ὄντος τὸν κόσμον πεποίηκε, καὶ ὁ αὐτοῦ λόγος ἀληθής ἐστι καὶ ζῶν καὶ ἐνεργὴς καὶ παντοδύναμος, καὶ πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν, οὐ δύναται τὸν ἄρτον εἰς τὸ ἴδιον αὐτοῦ σῶμα μεταποιῆσαι, καὶ τὴν τοῦ ὕδατος καὶ οἴνου κρᾶσιν εἰς τὸ ἴδιον αἷμα; ὡς γὰρ εἶπεν ἐν τῇ ἀρχῇ, βλαστησάτω ἡ γῆ χλοάζουσαν βοτάνην, καὶ μέχρι τοῦ νῦν ὕοντος αὐτοῦ βλαστάνει βοτάνας ἡ γῆ, παρασπιζομένη καὶ βιαζομένη ὑπὸ τῆς κελεύσεως τοῦ θεοῦ· οὕτως εἰπὼν ὁ θεὸς, τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου, καὶ τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, καὶ ταύτῃ τῇ τοῦ παντοδυνάμου προστάξει μέχρι τῆς αὐτοῦ δευτέρας παρουσίας, γίνεται, θείᾳ ἐπιπνοίᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου πνεύματος. Αχ. Αλλὰ διατί μᾶλλον ὁ χριστὸς ὑπὸ τὸ εἶδος τοῦ ἄρτου καὶ τοῦ οἴνου, καὶ ὕδατος, τοῦ σώματος αὐτοῦ κεκρυμμένου καὶ τοῦ αἵματος, μεταλαμβάνειν παρέδωκεν, ἢ ὑπὸ ἄλλη ὕλη. Σα. καὶ ἤδη εἴρηκα περὶ τούτου, καὶ πάλιν λέξω· θεοῦ συγκαταβάσει καὶ ἀφάτῳ προνοίᾳ, ἀφέσει τε καὶ ἀξιώσει εἰς ἡμᾶς τοῦτ' ἐγένετο, ἵνα τοῖς τῆς φύσεως συνηθέσι, εἰς τὸ φαγεῖν καὶ πιεῖν διατρεφώμεθα καὶ ἀναφερώμεθα εἰς τὰ ὑπὲρ φύσιν, φημὶ δὴ εἰς τὰ θεῖα μυστήρια. ἀλλ' ἐπεὶ ἐν πᾶσι τοῖς ἄλλοις βρώμασιν ὁ ἄρτος τὴν πρώτην εἴληφε τάξιν, ὁμοίως καὶ ἐν τοῖς ποτοῖς τὸ ὕδωρ καὶ ὁ οἶνος προτερεύει. τούτοις τοίνυν τῷ ἄρτῳ φημὶ, καὶ τῷ οἴνῳ καὶ ὕδατι

ἡμῖν ἐπιθεῖσι συζεύξας ὁ κύριος τὴν αὐτοῦ θεότητα, τῇ δυνάμει τοῦ ῥήματος αὐτοῦ, ὁ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν, εἰς τὸ ἴδιον αὐτοῦ σῶμα καὶ αἷμα αὐτὰ μεταβάλλει· ἄρτος δ' ὅμως καὶ οἶνος παραλαμβάνεται καὶ φαίνεται. καὶ τοῦτο τῷ οἰκονομικῷ τρόπῳ καὶ συγκαταβατικῇ δωρεᾷ, ἀφαιρεῖται ἡμᾶς τὴν φρίκην καὶ τὸν φόβον, ὃν φρίττοντες κατειχόμεθα ἂν, εἰ τὴν αὐτοῦ σάρκα ἐν τῷ αὐτῆς ἰδίῳ εἴδει, καὶ τὸ αἷμα ἐκέλευσεν ἡμᾶς λαμβάνειν. πρὸς τούτοις δὲ, καὶ τὰ ἔκφυλα γένη, ἡμῶν σαρκοβορίαν κατέγνωσαν ἂν, λέγοντα δίκην θηρίων ἡμᾶς αἱμοποτεῖν καὶ ὠμοβορεῖν, ἀλλὰ διὰ τὴν ἀπιστίαν, ἄρτον μόνον καὶ οἶνον ὁρῶσιν· οἱ δὲ πιστοὶ, σῶμα τοῦ χριστοῦ, καὶ αἷμα τὸ ἐκ τῆς ἀχράντου χεόμενον πλευρᾶς· ὥσπερ καὶ ἐν τῷ τοῦ βαπτίσματος λουτηρείῳ οἱ ἀπιστίᾳ κατεχόμενοι, ὕδωρ μόνον ἐπὶ τῆς κολυμβήθρας ὁρῶσιν· οἱ δὲ πιστοὶ, τὸ ὕδωρ καὶ πῦρ καὶ πνεῦμα καθορῶσιν. ὅταν δὲ καὶ ἐκεῖνοι μέτοχοι γένωνται τοῦ βαπτίσματος, τότε καὶ αὐτοὶ τὸ βέβαιον ἐκ τοῦ αἰσθητοῦ λαμβάνουσι πρὸς τὴν ἀόρατον ἀναγέννησιν. ὥστε, εἴ τις ἐστὶν ἐν τῷ ὕδατι χάρις, οὐκ ἐκ τῆς φύσεώς ἐστι τοῦ ὕδατος, ἀλλ' ἐκ τῆς τοῦ πνεύματος παρουσίας. Αχ. πρόδηλον ὅτι πάντα τρόπον καλῶς κηρύττεις καὶ διεξέρχῃ τὰ τῆς πίστεως τοῦ χριστοῦ μυστήρια· περὶ τούτου δὲ ἀπορήσειεν ἄν τις, πῶς εἷς ὢν ὁ θεὸς καὶ τὸ σῶμα τοῦ χριστοῦ ἓν, εἰς ἀναρίθμητα σώματα καὶ μέρη διαιρεῖται. πολλοὶ τὰ διαιρούμενα ἄρα χριστοί εἰσιν, ἢ εἷς, ἢ ἐν ἑκάστῳ μέρει εἷς, καὶ ὁ αὐτὸς σῶος καὶ ὁλόκληρος. Σα. ἐκ τῶν αἰσθητῶν καὶ ὑλικῶν παραδειγμάτων, τὰ ἄϋλα καὶ τὰ ὑπὲρ φύσιν ἀποδεικνύομεν. ἀκουέτω τοίνυν τούτου τοῦ παραδείγματος, καὶ νοείτω τὴν ἐν αὐτῷ ἐγκεκρυμμένην τοῦ λόγου δύναμιν. θετέον· κάτοπτρόν τις ἐληκὼς προσούδισε, καὶ εἰς πολλὰ κλάσματα κατέκλασεν· ἐν ἑκάστῳ δ' ὅμως κλάσματι τὴν σκιὰν σῴαν τις ὄψεται· οὕτω νοῆσαι ἄν τις καὶ ἐκ ταύτης τῆς σκιᾶς, τὴν τοῦ χριστοῦ σάρκα εἶναι σώαν τε ὁλόκληρον ἐν ἑκάστῳ κλάσματι, καθ' ὥραν καὶ ὁσάκις καὶ πανταχοῦ κλωμένῳ. καὶ αὖθις λάβε καὶ ἕτερον παράδειγμα· πᾶν ὅ,τι ἄνθρωπος ῥῆμα προφέρων λέγει, καὶ ὁ λέγων νοεῖ αὐτὸ καὶ ἀκούει, καὶ οἱ περὶ αὐτῷ ἀκούουσιν, εἰ καὶ πολλοὶ εἰσὶν οἱ ἀκούοντες, οὐ διῃρημένον, ἀλλ' ὁλόκληρον· τὸν αὐτὸν τρόπον θετέον καὶ ἐπὶ τοῦ σώματος τοῦ χριστοῦ. τὸ τοῦ χριστοῦ πανάγιον σῶμα, καθεζόμενον παρὰ τῷ πατρὶ, μένει ἐν αὐτῷ· ἀλλὰ δή τε ὁ ἱερουργούμενος ἄρτος εἰς τὸ ἀληθὲς τοῦ χριστοῦ σῶμα μεταβαλλόμενος δυνάμει θείᾳ δι' ἐπιφοιτήσεως τοῦ παναγίου πνεύματος, καίπερ μερίζεται, ἀλλ' ὁλόκληρον καὶ σῶον ἐν ἑκάστῳ κλάσματι σώζεται, ὡς καὶ ὁ λόγος τοῦ λέγοντος πρὸς πάντας τοὺς ἀκούοντας, ὁλόκληρος καὶ οὐ διῃρημένος ἀκούεται. οὕτω διὰ τῶν ὁρατῶν καὶ αἰσθητῶν παραδειγμάτων τοὺς ἀπειθεῖς καὶ περιέργους εἰς τὸ κατανοῆσαι τὰ τοῦ θεοῦ μυστήρια ὑπὲρ φύσιν καὶ λόγον τε ἔννοιαν καὶ ὑπὲρ ἡμᾶς ὄντα ἀνάγομεν. ὅταν τοίνυν ὁ ἀ-



Digitized by Google

κλασθεὶς ἄρτος εἰς μέρη τέμνηται, ὃς τὸ πανάγιον τοῦ Χριστοῦ ἐστὶ σῶμα, μὴ νομίσῃς ὅτι μερίζεται ἢ ἀποσπᾶται ἢ διαιρεῖται τὸ ἄχραντον ἐκεῖνο σῶμα· ἀθάνατον γὰρ καὶ ἄφθαρτον καὶ ἀδαπάνητον· ἀλλ' ὅτι μερισμός ἐστιν ἐκεῖνος τῶν αἰσθητῶν συμβεβηκότων μόνον μετὰ τὸν ἁγιασμόν, πρὸς ῥώμην πίστεως καὶ παράστασιν ὁρατοῦ σημείου τῶν μυούντων, καὶ ἀρραβῶνα καὶ ἐφόδιον ζωῆς αἰωνίου. Αχ. Ὄντως θαυμαστὰ καὶ παράδοξα καὶ ὑπὲρ φύσιν καὶ νοῦν καὶ ἔννοιαν ἀνθρωπίνην τὰ τῆς πίστεως τῶν χριστιανῶν ἀπόρρητα μυστήρια, πάτερ ἀββᾶ· εὐχαριστῶ δέ σοι, ὅτι καὶ ἡμῖν ἀπέδειξας ἄγαν ὁμαλώτατον καὶ λεῖον καὶ ἀληθὲς δόγμα, τὸν Χριστὸν παντοδύναμον καὶ φιλάνθρωπον καὶ ἀληθῆ θεὸν ὑποδεικνύον, ἐξ οὗ ἀπελήλαται τὸ ψεῦδος· ἐξελήλαται δὲ καὶ πᾶσα φαντασία. ἀλλ' ἴωμεν· ἁγίως γὰρ ταῦτα πεφιλοσόφηται. μυωπίζομεν δ' ἔτι μᾶλλον, ἐπεὶ ὡς ὁρᾷς, κέκλικεν ἡ ἡμέρα.

# ΜΑΡΚΟΥ ἈΡΧΙΕΠΙΣΚΟΠΟΥ ΕΦΕΣΟΥ, ΟΤΙ ΟΥ ΜΟΝΟΝ ΑΠΟ τῆς φωνῆς τῶν δεσποτικῶν ῥημάτων ἁγιάζονται τὰ θεῖα δῶρα, ἀλλ' ἐκ τῆς μετὰ ταῦτα εὐχῆς καὶ εὐλογίας τοῦ ἱερέως, δυνάμει τοῦ ἁγίου πνεύματος.

ΗΜΕΙΣ ἐκ τῶν ἱερῶν ἀποστόλων καὶ τῶν διαδεξαμένων αὐτοὺς διδασκάλων τῆς ἐκκλησίας, τὴν τῆς μυστικῆς λειτουργίας ἔκθεσιν παρειληφότες, παρ' οὐδενὶ τούτων εὕρομεν ὑπ' αὐτῶν τῶν δεσποτικῶν ῥημάτων καὶ μόνον ἁγιάζεσθαι καὶ τελειοῦσθαι τὰ τῆς εὐχαριστίας δῶρα, καὶ πρὸς αὐτὸ τὸ δεσποτικὸν σῶμα καὶ αἷμα μεταποιεῖσθαι· ἀλλὰ προλεγόμενα μὲν διηγηματικῶς τὰ ῥήματα παρὰ πᾶσι συμφώνως, ἡμᾶς τε ἀναφέρονται τὰ πρὸς τὴν μνήμην τοῦ τότε πραχθέντος, καὶ δύναμιν ὥσπερ ἐνιέντα τοῖς προκειμένοις εἰς τὴν μεταβολήν· ἐπιγινομένην δὲ μετὰ ταῦτα τὴν εὐχήν τε καὶ εὐλογίαν τοῦ ἱερέως, ἐνεργείᾳ μεταποιεῖσθαι ἤδη τὰ δῶρα πρὸς αὐτὸ τὸ πρωτότυπον ἐκεῖνο σῶμα καὶ αἷμα τὸ δεσποτικόν. ταῦτα δὲ καὶ αἱ ἐκθέσεις αὐταὶ μαρτυροῦσι, σύμφωνοι παρ' ἡμῖν εὑρισκόμεναι· καὶ ὁ λόγος ἐπὶ ταύταις ἀποδειχθήσεται· ἐν μὲν γὰρ τῇ συγγραφείσῃ διὰ Κλήμεντος λειτουργίᾳ τῶν ἱερῶν ἀποστόλων, μετὰ τὸ διηγήσασθαι τὰ δεσποτικὰ θαύματα καὶ τὰς πράξεις, ἔτι δὲ τὰ περὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον, οὕτω κεῖται ῥητῶς· Μεμνημένοι οὖν ὧν δι' ἡμᾶς ὑπέμεινεν, εὐχαριστοῦμέν σοι θεὲ παντοκράτορ,



Digitized by Google